Ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι, τοὺς δ' ἐξ ἄστεως
ἧττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδες.
Ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέλῃ.
Πολλὰ γὰρ δή μ' ἠδίκησαν,
ὄντες οἴκοι μὲν λέοντες,
ἐν μάχῃ δ' ἀλώπεκες.

τρυών. Aristophane s'égayait fort de cette étrange création. L'hippalectryon (cheval avec les pattes de derrière et les ailes d'un coq) était un motif de décoration bien connu à Athènes : il nous en reste encore de nombreux exemplaires du VI[e] et du V[e] siècle. Mais l'épithète ξουθός (*brun roux*, cf. *Ois.* 214) appliquée à cet animal fantastique qu'on voyait sur les tapisseries d'Asie et les vases grecs avec d'autres couleurs avait paru imprévue. On se demandait en riant quel pouvait être ce monstre inconnu (cf. *Gren.* 932). Aristophane donne le mot de l'énigme : c'est Cléonyme. Le taxiarque fanfaron, dont le manteau se déploie en larges ailes au vent de sa course affolée, semble un ἱππαλεκτρυών aux ailes ouvertes (cf. Sch.); mais le rouge ardent (1173) de son manteau s'est teint en brun roux (cf. ὑπερεπυρρίασε, *Gren.* 308) sous l'effet de sa peur, et il est ainsi ξουθός. — Cette explication ne convient qu'à ce passage : les mêmes mots peuvent cacher ailleurs une plaisanterie assez différente (*Ois.* 798 ; *Gren.* 934) : Aristophane s'est amusé à proposer des explications aussi variées que possible des mots d'Eschyle.

1178. Λινοπτώμενος. Le soldat abandonné par son chef est comparé au chasseur qu'on a *chargé de surveiller les filets* et que ses rabatteurs ont abandonné pour aller chasser ailleurs. Cf. Xén. *Cyr.* II, 4, 25 : νόμιζε δ', ὥσπερ ἐν θήρᾳ, ἡμᾶς μὲν τοὺς ἐπιζητοῦντας ἔσεσθαι, σὺ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι.

1180. Tous les Athéniens de 18 à 60 ans étaient inscrits sur les listes militaires par *classes* (ἡλικίαι). Les noms des citoyens qui formaient les différentes classes étaient affichés sur des *tablettes blanchies* à la base des statues des dix éponymes (cf. 1183 n.). Mais les fraudes étaient faciles : aussi, quand une classe était convoquée pour une expédition, les taxiarques *bouleversaient* (ἄνω τε καὶ κάτω) les listes en *inscrivant* (cf. ἐγγράφοντες) leurs ennemis politiques dans la classe désignée et en *effaçant* (cf. ἐξαλείφοντες) les noms de leurs amis. Les abus allèrent si loin qu'on finit par remplacer les *tablettes blanchies* par une *stèle de bronze*, στήλη χαλκῆ (cf. Arist. Πολ. Ἀθην. 53).

1181. Ἔσθ' = ἔσται. Ce sont les termes mêmes de la proclamation des stratèges.

1183. Πανδίονος. Notre homme est de la tribu Pandionide. Il a déjà lu l'ordre des stratèges et le nom de la classe appelée. Il *va se planter en face* de la statue de son éponyme pour lire les noms des partants de sa tribu et il *se voit* avec stupeur inscrit dans la classe convoquée, dont cependant il ne fait point partie.

1184. Τῷ κακῷ se rattache à ἀπορῶν. — Βλέπων ὀπόν, *le regard humide* : ὀπός désigne proprement le suc qui coule de certains arbres.

1185. Τοὺς δ' ἐξ ἄστεως. Les *gens de la ville* sont des électeurs à ménager : au moment de la reddition de comptes, ils se porteront les accusateurs des taxiarques, tandis que les *campagnards* ne s'occupent guère de politique.

1186. Ῥιψάσπιδες. Il s'agit de Cléonyme (cf. 446 n.). — Le mot est un παρ' ὑπόνοιαν pour ἐχθροί que faisaient attendre θεοῖσιν κἀνδράσιν, et ces datifs se trouvent alors signifier *aux yeux des dieux et des hommes* (cf. Soph. *Œd. Roi*, 8 ; Platon, *Lois*, 624 A).

1189. Plus tard on appliqua ces mots aux Lacédémoniens qui avaient négocié avec Tissapherne : οἴκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες.

ΤΡΥΓΑΙΟΣ

Ἰοὺ ἰού·
ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' εἰς τοὺς γάμους.
Ἔχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηί·
πάντως γὰρ οὐδὲν ὄφελός ἐστ' αὐτῆς ἔτι.
Ἔπειτ' ἐπιφόρει τοὺς ἀμύλους καὶ τὰς κίχλας
καὶ τῶν λαγῴων πολλὰ καὶ τοὺς κολλάβους.

ΔΡΕΠΑΝΟΥΡΓΟΣ

Ποῦ ποῦ Τρυγαῖός ἐστιν;

ΤΡΥΓΑΙΟΣ

Ἀναβράττω κίχλας.

ΔΡΕΠΑΝΟΥΡΓΟΣ

Ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου,
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ·
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγρούς.
Ἀλλ', ὦ Τρυγαῖε, τῶν δρεπάνων τε λάμβανε
καὶ τῶνδ' ὅ τι βούλει προῖκα· καὶ ταυτὶ δέχου·
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδάναμεν
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους.

ΤΡΥΓΑΙΟΣ

Ἴθι νυν, καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε
ἐπὶ δεῖπνον ὡς τάχιστα· καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Οἴμ' ὡς προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεσας.

ΤΡΥΓΑΙΟΣ

Τί δ' ἔστιν, ὦ κακόδαιμον; οὔ τί που λοφᾷς;

1195. ἐπεισφόρει V ἐπισφόρει R corr. Dobree.

1192. Ὅσον τὸ χρῆμα, cf. 876 n. Cette locution est généralement suivie d'un génitif, cf. *Ass.* 394; *Nuées*, 1. Mais ici aucune amphibologie n'est possible.

1193. Ταυτηί. Sch. περικεφαλαίαν δίδωσιν ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν. Mais cette explication est très vraisemblablement tirée du vers interpolé 1218; περικεφαλαία, mot de basse époque, n'est certainement pas le nom féminin auquel se rapporte ταυτηί. On pourrait penser plutôt à une *chlamyde*.

1195. Ἀμύλους, gâteaux de farine légère.

1196. Κολλάβους, petits pains de froment.

1200. Οὐδὲ κολλύβου, *pas même pour un liard*. Le κόλλυβος (cf. Pollux, IX, 72) était une fraction de l'obole dont on ignore la valeur exacte.

1204. Καὶ τῶνδε, s.-ent. τῶν κάδων. — Ταυτί, ce sont encore d'autres présents, peut-être des étoffes de prix.

1211. Οὔ τί που λοφᾷς; *tu as perdu*

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον
καὶ τουτουὶ καὶ τοῦ δορυξοῦ 'κεινουί.

ΤΡΥΓΑΙΟΣ

Τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Αὐτὸς σὺ τί δίδως;

ΤΡΥΓΑΙΟΣ

Ὅ τι δίδωμ'; αἰσχύνομαι·
ὅμως δ' ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολύν,
δοίην ἂν αὐτῶν ἰσχάδων τρεῖς χοίνικας.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας·
κρεῖττον γάρ, ὦ τᾶν, ἐστιν ἢ μηδὲν λαβεῖν.

ΤΡΥΓΑΙΟΣ

Ἀπόφερ' ἀπόφερ' ἐς κόρακας ἀπὸ τῆς οἰκίας·
τριχορρυεῖτον, οὐδέν ἐστον τὼ λόφω.
Οὐκ ἂν πριαίμην οὐδ' ἂν ἰσχάδος μιᾶς.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Τί δαὶ δεκάμνῳ τῷδε θώρακος κύτει
ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;

ΤΡΥΓΑΙΟΣ

Οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν.
Ἀλλ' αἶρέ μοι τοῦτόν γε τῆς ἰσωνίας·
ἐναποπατεῖν γάρ ἐστ' ἐπιτήδειος πάνυ.

1218. ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτῳί seclusit Hamaker. — 1225. ἐνημμένως RV.

ton panache, je crois? L'expression est à double sens en grec comme en français.

1213. Τουτουί, *le fabricant de casques* (1255) : comme le *polisseur de lances* (δορυξός), ce n'est qu'un ouvrier qui vend ses casques et ses aigrettes (cf. 1251) au *marchand d'armes*. — Celui-ci négocie seul. Il porte lui-même une cuirasse d'une main, une trompette de l'autre : il a jadis payé cher ces deux objets (cf. 1224, 1227 n., 1241) et cherche à les revendre.

1216. Σφήκωμα, c'est l'étroite et courte tige, placée au sommet du casque, d'où sort le panache. — Ἔχει πόνον πολύν. Nous disons de même d'un objet d'art : Il y a là *beaucoup de travail*. »

1220. Ὦ τάν. Il s'adresse au κρανοποιός. Cf. 1213 n.

1224. Θώρακος κύτει est une expression tragique : le marchand d'armes enfle la voix quand il parle de sa marchandise.

1225. Ἐνημμένῳ κάλλιστα, *admirablement ajustée*. Une cuirasse est formée de deux γύαλα : le marchand veut montrer comme ces deux parties s'adaptent bien l'une à l'autre, et il pose la cuirasse à terre, toute droite. C'est ce qui va permettre à Trygée de s'asseoir dessus (1228).

1227. Τῆς ἰσωνίας, *au prix coûtant*. Cf. 1213 n.

1228. Ἐναποπατεῖν. Cf. *Ois*. 38, [πόλιν] κοινὴν ἐναποτεῖσαι χρήματα, « ville ou-

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Παῦσαί μ' ὑβρίζων τοῖς ἐμοῖσι χρήμασιν.

ΤΡΥΓΑΙΟΣ

Ὡδί, παραθέντι τρεῖς λίθους. Οὐ δεξιῶς;

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ποίᾳ δ' ἀποψήσει ποτ', ὦμαθέστατε;

ΤΡΥΓΑΙΟΣ

Τηδί, διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμιᾶς,
καὶ τῇδ'.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἅμ' ἀμφοῖν δῆτ';

ΤΡΥΓΑΙΟΣ

Ἔγωγε νὴ Δία,
ἵνα μή γ' ἁλῶ τρύπημα κλέπτων τῆς νεώς.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἔπειτ' ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;

ΤΡΥΓΑΙΟΣ

Ἔγωγε νὴ Δί', ὦπίτριπτ'. Οἴει γὰρ ἂν
τὸν πρωκτὸν ἀποδόσθαι με χιλιῶν δραχμῶν;

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἴθι δή, 'ξένεγκε τἀργύριον.

ΤΡΥΓΑΙΟΣ

Ἀλλ', ὦγαθέ,
θλίβει τὸν ὄρρον · ἀπόφερ', οὐκ ὠνήσομαι.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Τί δ' ἄρα τῇ σάλπιγγι τῇδε χρήσομαι,
ἣν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;

ΤΡΥΓΑΙΟΣ

Μόλυβδον εἰς τουτὶ τὸ κοῖλον ἐγχέας,

verte à tous ceux qui veulent *y* dépenser de l'argent ».

1229. Τοῖς ἐμοῖσι χρήμασιν, *(m'outrager) dans mes biens* : cf. Soph. *Œd. Roi*, 26, [πόλις] φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός, « ville qui meurt *dans* tous les germes de moissons confiés à son sol ».

1230. Τρεῖς λίθους. Sch. καὶ γὰρ παροιμία· « Τρεῖς ἱκανοὶ πρωκτὸν ἀπομάξαι λίθοι ». Τινὲς δὲ προστιθέασι καὶ τοῦτο, ὥς φασιν· « ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι, τέτταρες ».

1232. Τηδί... καὶ τῇδε. Il montre les deux ouvertures pour les bras. — Διὰ τῆς θαλαμιᾶς, *par le sabord de nage*.

1234. Les triérarques cherchaient souvent à dissimuler quelques sabords de leur trirème : ils économisaient ainsi la solde d'un certain nombre de rameurs. Trygée se refuse à de pareilles fraudes : il utilise tous les sabords ouverts aux flancs... de la cuirasse.

1242. Μόλυβδον. Ce *plomb* est destiné à donner de la stabilité à la trompette.

ἔπειτ' ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Οἴμοι καταγελᾷς.

ΤΡΥΓΑΙΟΣ

Ἀλλ' ἕτερον παραινέσω.
Τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον,
ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
πλάστιγγα πρόσθες, καὐτό σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ὦ δυσκάθαρτε δαῖμον, ὥς μ' ἀπώλεσας,
ὅτ' ἀντέδωκά γ' ἀντὶ τῶνδε μνᾶν ποτε.
Καὶ νῦν τί δράσω ; Τίς γὰρ αὔτ' ὠνήσεται ;

ΤΡΥΓΑΙΟΣ

Πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις·
ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Οἴμ', ὦ κρανοποί', ὡς ἀθλίως πεπράγαμεν.

ΤΡΥΓΑΙΟΣ

Οὗτος μὲν οὐ πέπονθεν οὐδέν.

1251. ἀντέδωκά γ' ἀντὶ B ἀντέδωκ' ἀντὶ RV.

qu'on pose à terre, toute droite ; puis, par l'ouverture supérieure, on y *enfonce une baguette assez longue*. C'est au sommet de cette baguette qu'on mettra le léger plateau vers lequel les buveurs lanceront le vin de leur coupe. On aura ainsi, dit Trygée, un de ces cottabes qu'on peut élever et abaisser (ἀνάγειν καὶ κατάγειν) au gré des joueurs et qu'on appelle à cause de cela κατακτοί.

1247. J'entends πλάστιγγα au sens de *fléau* de balance (cf. *Rhésos*, 303, où le mot est pris au sens de ζυγόν). Par suite σπαρτίοις ἠρτημένην équivaut à σπαρτία ἔχουσαν ἠρτημένα (cf. Soph. *Œd. Roi*, 3, κλάδοισιν ἐξεστεμμένοι = κλάδους ἔχοντες ἐξεστεμμένους). C'est à ces σπαρτία qu'on attachera les plateaux, dont Trygée ne parle pas. — Αὐτό se rapporte à un neutre sous-entendu qui est le sujet de γενήσεται : *et voilà une chose qui*, *telle quelle* (c.-à-d. sans aucun autre changement).... — Γενήσεται, *deviendra susceptible de*, est construit avec un infinitif, comme l'est très souvent πεφυκέναι, *être capable de...*

1251. Τῶνδε, s.-ent. τῶν κρανῶν.

1254. Les Égyptiens usaient très largement des purgatifs : cf. Hérod. II, 77, συρμαΐζουσι τρεῖς ἡμέρας ἐπεξῆς μηνὸς ἑκάστου. On ne sait pas exactement comment était composée la συρμαία : un scholiaste d'Hérodote la dit faite ἐκ ζειῶν καὶ ὕδατος ; Suidas la définit πόμα κρίθινον : ce serait alors cette tisane d'orge que les Égyptiens appelaient « bière douce » (haq nozmou).

1256. Le marchand d'armes a perdu ses débours (1251), mais le *fabricant de casques* (οὗτος) n'a souffert encore aucun dommage : il lui suffira désormais de mettre à ses casques deux anses (τοιαυτασί, Trygée montre ses oreilles) et il les vendra comme des ἀμίδες (qu'on suspend au mur par leurs ὠτάρια, cf. *Guêp.* 808).

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἀλλὰ τί;
Ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;

ΤΡΥΓΑΙΟΣ

Ἐὰν τοιαυτασὶ μάθη λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὔτ' ἀποδώσεται πολύ.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ἀπίωμεν, ὦ δορυξέ.

ΤΡΥΓΑΙΟΣ

Μηδαμῶς γ', ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Πόσον δίδως δῆτ';

ΤΡΥΓΑΙΟΣ

Εἰ διαπρισθεῖεν δίχα,
λάβοιμ' ἂν αὔτ' εἰς χάρακας, ἑκατὸν τῆς δραχμῆς.

ΟΠΛΩΝ ΚΑΠΗΛΟΣ

Ὑβριζόμεθα· χωρῶμεν, ὦ τᾶν, ἐκποδών.

ΤΡΥΓΑΙΟΣ

Νὴ τὸν Δί', ὡς τὰ παιδί' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα
ἅττ' ᾄσεται προαναβάληταί μοι δοκεῖ.
Ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖς, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ στὰν πρότερον ἀναβαλοῦ 'νθαδί.

ΠΑΙΣ Α

« Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα. »

ΤΡΥΓΑΙΟΣ

Παῦσαι
ὁπλοτέρους ᾄδον, καὶ ταῦτ', ὦ τρισκακόδαιμον,
εἰρήνης γ' οὔσης· ἀμαθές γ' εἶ καὶ κατάρατον.

1257. ἔνεστι RV[1] γρ. ἔτ' ἐστὶ V[2]. — 1258. μάθῃς RV. — 1265. τρεῖς δραχμὰς R.

1266. Οὐρησόμενα. Ce n'est qu'un prétexte : les enfants ont dit en quittant la table : ἐξερχόμεθα οὐρησόμενοι, *afin de pouvoir répéter* hors de la salle. — Ἐπικλήτων. Sch. et *Argum.* I, 26 : τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον.

1267. Μοι δοκεῖ est une sorte de parenthèse : cf. *Ois.* 1225.

1270. Νῦν αὖθ'. Début d'un poème du cycle thébain, *les Épigones*.

1271. Ὁπλοτέρους dans l'usage signifie simplement *jeune* : on trouve même le mot appliqué à des femmes (*Od.* III, 465). L'auteur des *Épigones* avait voulu dire *les nouvelles générations* (cf. Théocr. XVI, 46), c.-à-d. les fils des Sept Chefs. Mais Trygée ne voit dans le mot que le premier terme qui le compose, ὅπλα. — Ἆιδον. Le neutre est amené par l'idée de παιδίον ou παιδάριον, cf. 1278, 1294.

ΠΑΙΣ Α

« Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας. »

ΤΡΥΓΑΙΟΣ

Ἀσπίδας ; οὐ παύσει μεμνημένος ἀσπίδος ἡμῖν ;

ΠΑΙΣ Α

« Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν. »

ΤΡΥΓΑΙΟΣ

Ἀνδρῶν οἰμωγή ; κλαυσεῖ νὴ τὸν Διόνυσον
οἰμωγὰς ᾄδον, καὶ ταύτας ὀμφαλοέσσας.

ΠΑΙΣ Α

Ἀλλὰ τί δῆτ' ᾄδω ; Σὺ γάρ εἰπέ μοι οἷστισι χαίρεις.

ΤΡΥΓΑΙΟΣ

« Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα » · καὶ τὰ τοιαυτί ·
« Ἄριστον προτίθεντο καὶ ἅτθ' ἥδιστα πάσασθαι. »

ΠΑΙΣ Α

« Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν. »

ΤΡΥΓΑΙΟΣ

Εἶεν · ἐκόρεσθεν τοῦ πολέμου κᾆτ' ἤσθιον.
Ταῦτ' ᾆδε, ταῦθ', ὡς ἤσθιον κεκορημένοι.

ΠΑΙΣ Α

« Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι. »

ΤΡΥΓΑΙΟΣ

Ἄσμενοι, οἶμαι.

ΠΑΙΣ Α

« Πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει. »

1278. ᾄδων RV ᾆδον V². — 1281. μασᾶσθαι V.

1273 sq. Cf. *Il.* III, 15 ; IV, 447.

1276 = *Il.* IV, 450.

1278. Ἆιδον, cf. 1271 n. — Καὶ ταύτας ὀμφαλοέσσας. Trygée n'a retenu que les mots qui l'ont irrité et les accouple au hasard.

1280. Καὶ τὰ τοιαυτί annonce ce qui suit.

1282, 5, 6, 7. Ces vers sont tirés de l' Ἀγὼν Ὁμήρου καὶ Ἡσιόδου.

1285. Ταῦθ', ὡς ἤσθιον. Pour la construction, cf. 48 n.

1286. Θωρήσσοντ' ἄρ' *ayant fini* (de banqueter), *ils prenaient leurs cuirasses.* Ma s θωρήσσομαι veut dire aussi, dans la langue familière, *se garnir le ventre* (cf. *Ach.* 1135) et Trygée comprend : *ayant fini* (de se battre), *ils mangeaient et buvaient.* D'où son exclamation : *avec joie, je pense!*

ΤΡΥΓΑΙΟΣ

Κάκιστ' ἀπόλοιο, παιδάριον, αὐταῖς μάχαις·
οὐδὲν γὰρ ᾄδεις πλὴν πολέμους. Τοῦ καί ποτ' εἶ;

ΠΑΙΣ Α

Ἐγώ;

ΤΡΥΓΑΙΟΣ

Σὺ μέντοι νὴ Δί'.

ΠΑΙΣ Α

Υἱὸς Λαμάχου.

ΤΡΥΓΑΙΟΣ

Αἰβοῖ.
Ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
Ἄπερρε καὶ τοῖς λογχοφόροισιν ᾆδ' ἰόν.
Ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶν παιδίον;
Ἆσον πρὶν εἰσιέναι τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
οὐ πράγματ' ᾄσεις· σώφρονος γὰρ εἶ πατρός.

ΠΑΙΣ Β

« Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων. »

ΤΡΥΓΑΙΟΣ

Εἰπέ μοι, ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις;

ΠΑΙΣ Β

« Ψυχὴν δ' ἐξεσάωσα. »

ΤΡΥΓΑΙΟΣ

Καταισχύνας γε τοκῆας.
Ἀλλ' εἰσίωμεν· εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς

1292. εἴης V in rasura εις R. — 1294. ἰών V. — 1301. κατήσχυνας δὲ RV[1] γε V[2].

1290. Σὺ μέντοι, *oui, toi*. Cf. *Cav.* 168; *Gren.* 171.

1292 sq. Trygée déclame ces deux vers sur le ton d'un rhapsode. — Θαύμαζον κ. τ. ἕ. *je me demandais, étonné, si tu n'étais pas....*

1297. Σώφρονος est ironique. Cf. 673 sqq.

1298 sq. = Archiloque, fr. 5.

1299. Ἔντος ἀμώμητον explique οὐκ ἐθέλων : on se sépare à contre-cœur d'une arme sans défauts. Il y a dans ces vers plus de spirituelle bonhomie que de cynisme.

1300. Πόσθων, *couillon mignon* (Rabelais, III, 26).

1301. Ψυχὴν δ' ἐξεσάωσα. Archiloque avait dit : αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος· ἀσπὶς ἐκείνη | ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω. Aristophane modifie le texte pour en accentuer la franchise un peu crue et se préparer une réplique mordante et décisive. — Καταισχύνας γε... *oui* (γε), *en déshonorant tes parents.*

ὅτι ταῦθ' ὅσ' ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος
οὐ μὴ 'πιλάθῃ ποτ', ὢν ἐκείνου τοῦ πατρός.

Ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων
φλᾶν ταῦτα πάντα καὶ σποδεῖν, καὶ μὴ κενὰς παρέλκειν·
ἀλλ' ἀνδρικῶς ἐμβάλλετ', ὤ,
καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν· οὐδὲν γάρ, ὦ πονηροί,
λευκῶν ὀδόντων ἔργον ἔστ' ἢν μή τι καὶ μασῶνται.

ΚΟΡΥΦΑΙΟΣ

Ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων.
Ἀλλ', ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγῴων·
ὡς οὐχὶ πᾶσαν ἡμέραν
πλακοῦσιν ἔστιν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.
Πρὸς ταῦτα βρύκετ', ἢ τάχ' ὑμῖν φημι μεταμελήσειν.

ΤΡΥΓΑΙΟΣ

Εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν
δᾷδάς τε φέρειν καὶ πάντα λεὼν ξυγχαίρειν κἀπικελεύειν.
Καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
ὀρχησαμένους καὶ σπείσαντας καὶ Ὑπέρβολον ἐξελάσαντας,
κἀπευξαμένους τοῖσι θεοῖσιν
διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
πάντας ὁμοίως οἶνόν τε πολύν,
σῦκά τε τρώγειν,
τάς τε γυναῖκας τίκτειν ἡμῖν,
καὶ τἀγαθὰ πάνθ' ὅσ' ἀπωλέσαμεν

1307. ἐμβάλλετ' ὤ Bergk ἐμβάλλετον RV. — 1310. ἐστὶν RV. — 1317. κἀπιχορεύειν V. — 1318. νῦν R om. V corr. Kuster.

1305. Μενόντων. Trygée va rentrer dans la salle du festin (1302) pour assister aux chants des enfants. Pendant ce temps les choreutes se partageront les corbeilles de gâteaux que des esclaves apportent justement dans l'Orchestra (ταῦτα πάντα).

1306. Κενὰς παρέλκειν, proprement *ramer à vide*. Sch. ἀπὸ μεταφορᾶς τῶν ἐρεττόντων μὴ βαπτόντων τὰς κώπας, ἀλλὰ τῷ δοκεῖν κενὰς περιφερόντων.

1307. Ἐμβάλλετε, *enfoncez*, continue la métaphore précédente : cf. *Cav.* 601, ἀλλὰ τὰς κώπας λαβόντες... ἐμβαλόντες.... — Ὦ, c'est le cri du κελευστής commandant la manœuvre, cf. *Gren.* 208, 269.

1310. Un proverbe disait : οὐδὲν ἔργον ἐστὶν ἀνδρῶν ἢν μή τι καὶ μάχωνται.

1314. Ἐρήμοις, litt. *sans propriétaire* : cf. Arist. Πολ. Ἀθ. 43, 4.

1315. Les choreutes, avec bruit, dévorent les gâteaux de noce, jusqu'au moment où Trygée reparait sur le seuil.

1317. Ἐπικελεύειν, c'est proprement *pousser des clameurs d'encouragement* sur le passage d'un coureur (cf. Platon, *Phédon*, 61 A) et par suite *acclamer* toute espèce de cortège ou de défilé.

1322. Ποιεῖν, cf. Dém. 1045, ἐπειδὰν ποιῇς σίτου μὲν μεδίμνους πλέον ἢ χιλίους. Cet infinitif, comme ceux qui suivent, est coordonné, et non subordonné, à διδόναι.

1324. Σῦκα τρώγειν, *grignoter des figues*, évoque l'image des συμπόσια : cf. 575 n.

συλλέξασθαι πάλιν ἐξ ἀρχῆς,
λῆξαί τ' αἴθωνα σίδηρον.

Δεῦρ', ὦ γύναι, εἰς ἀγρόν,
χὤπως μετ' ἐμοῦ καλὴ
καλῶς κατακείσει.

ΧΟΡΟΣ

Ὑμήν, Ὑμέναι' ὦ.

ΗΜΙΧΟΡΙΟΝ Α

Ὦ τρισμάκαρ, ὡς δικαί-
ως τἀγαθὰ νῦν ἔχεις.
Ὑμήν, Ὑμέναι' ὦ,
Ὑμήν, Ὑμέναι' ὦ.

ΗΜΙΧΟΡΙΟΝ Β

Τί δράσομεν αὐτήν;
Τί δράσομεν αὐτήν;
Τρυγήσομεν αὐτήν.
Τρυγήσομεν αὐτήν.

ΗΜΙΧΟΡΙΟΝ Α

Ἀλλ' ἀράμενοι φέρω-
μεν οἱ προτεταγμένοι
τὸν νυμφίον, ὦνδρες.
Ὑμήν, Ὑμέναι' ὦ,
Ὑμήν, Ὑμέναι' ὦ.

ΗΜΙΧΟΡΙΟΝ Β

Οἰκήσετε γοῦν καλῶς
οὐ πράγματ' ἔχοντες, ἀλ-
λὰ συκολογοῦντες.
Ὑμήν, Ὑμέναι' ὦ,
Ὑμήν, Ὑμέναι' ὦ.

1340. προστεταγμένοι RV corr. Bentley.

1328. Λῆξαι, intransitif : *que cesse le règne du fer*. Cf. Hés. *Trav.* 414, λήγει μένος ὀξέος ἠελίοιο.

1330. Ὅπως... κατακείσει. Cf. 77.

1333. Le premier demi-chœur se porte au-devant de Trygée.

1337. Le second demi-chœur s'avance vers Opòra.

1338. Τρυγήσομεν. Le Chœur joue sur le nom d' Ὀπώρα. Cf. 712. n.

1339. Ἀράμενοι. Les mariés étaient généralement conduits par un char à la maison du mari. Ici, à défaut de char, les choreutes les portent sur leurs épaules.

1340. Οἱ προτεταγμένοι, c.-à-d. le premier demi-chœur qui *marchera en tête* du cortège.

1344. Le second demi-chœur, soulevant Opòra, s'adresse aux deux époux.

1346. Συκολογοῦντες renferme une allusion obscène, probablement soulignée d'un geste. Cf. 1350 n.

HMIXOPION A

Τοῦ μὲν μέγα καὶ παχύ.

HMIXOPION B

Τῆς δ' ἡδὺ τὸ σῦκον.

HMIXOPION A

Φήσεις γ', ὅταν ἐσθίῃς
οἶνόν τε πίῃς πολύν.

HMIXOPION B

Ὑμήν, Ὑμέναι' ὦ,
Ὑμήν, Ὑμέναι' ὦ.

ΚΟΡΥΦΑΙΟΣ

Ὦ χαίρετε χαίρετ', ἄν-
δρες, κἂν ξυνέπησθέ μοι,
πλακοῦντας ἔδεσθε.

1349. Τοῦ μέν. Sch. τὸ αἰδοῖον λέγει τοῦ νυμφίου.

1350. Τὸ σῦκον. Sch. τὸ τῆς Ὀπώρας αἰδοῖον λέγει.

1351. Φήσεις γε, à savoir ὡς ἡδὺ τὸ σῦκον τῆς Ὀπώρας, *combien sont doux les charmes d'Opôra*. Les mots sont repris cette fois dans leur sens figuré.

1355. Ἄνδρες. Il s'adresse aux spectateurs.

1356. Κἂν ξυνέπησθέ μοι. Prise à la lettre, cette invitation serait aussi peu sérieuse que celle du vers 1115. Mais elle a sans doute un autre sens : « Marchez sur nos traces, imitez-nous, et vous jouirez des plaisirs de la paix ».

NOTES CRITIQUES

48. La coupe de ce vers qui choque tant les hypercritiques est la même que celle du vers 6 des *Acharniens* : τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν. — Scandez ἀναιδέως comme un bacchée.

85. Ἰδίῃς donne un vers faux (cf. *Od.* XX, 204). Le scholiaste lisait probablement l'aoriste, car il commente par ἱδρώσῃς. L'aoriste ἰδίσῃς donne en effet trois longues (cf. *Ois.* 791).

107. Καταγορεύσῃ. Les Attiques emploient toujours la forme κατείπῃ cf. 377; *Ass.* 495).

114. Ἔτυμός γε. Ces tétrapodies dactyliques sont traitées comme des vers indépendants, ainsi que le prouve l'hiatus 116-117 : ἐμὲ | ἐς κόρακας. Dans ce cas, la dernière syllabe peut être indifférente (cf. *Nuées*, 309, θαλίαι τε, à la fin d une pentapodie).

169. Καὶ μύρον ἐπιχεῖς, dactyle suivi d'un anapeste : cf. *Thesm.* 822; *Gren.* 1525[1]

211. Ὅτι πολεμεῖν. Cette coupe des brèves du tribraque est très rare; elle n'est cependant pas sans exemple : cf. 367, 551, et surtout *Nuées*, 884.

273. Ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι. Ce vers est très probablement amené par ἐν δέοντι. *Il est mort à propos, c'est-à-dire* (ἤ) *avant de nous avoir versé le* μυττωτός. Dans ces derniers mots, le μυττωτός est considéré comme un excitant qui rend belliqueux : c'est ainsi que, pour avoir goûté celui de Dicéopolis, les Odomantes des *Acharniens* sont comme des coqs animés pour le combat (cf. *Ach.* 166, ἐσκοροδισμένοι). Mais cette conception cadre fort mal avec le reste de la scène : ce μυττωτός là ne doit pas être avalé par les cités, mais ce sont les cités elles-mêmes qui seront réduites en μυττωτός par Polémos. Le vers 273 est donc en contradiction formelle avec le reste de la scène. C'est probablement la glose d'un grammairien distrait qui avait mal compris le passage : ἤ, *ou bien*, *autrement dit*, est fréquent au début des scholies.

303. Φοινικικῶν. Le mot est inconnu. Le scholiaste l'explique par αἱματωδῶν, mais l'idée de *malheurs sanglants* est bien peu en rapport avec le ton du morceau : jamais le poète ne parle de mort ni de blessure : ce que le paysan abhorre dans la guerre, ce ne sont pas les dangers, ce sont les *ennuis*, les *tracas* (πράγματα, 348, 353, etc...) : il n'aime pas se sentir *dans le rang*, aux ordres d'un taxiarque insolent et couard (cf. 1175 sqq.). La leçon φοινικίδων est d'ailleurs celle d'une scholie interlinéaire, φοινικὶς χλαμὺς πολεμική, placée dans le *Ravennas* juste au-dessus du mot φοινικικῶν.

345. Ἰοῦ ἰοῦ doit se scander ⏑⏑⏑ —. Cf. Esch. *Eum.*, 143, où ἰοὺ ἰοὺ πόπαξ est un monomètre dochmiaque.

346 sqq. Les trois strophes 346-360; 385-399; 582-600 sont considérées en général par les éditeurs comme se répondant. La question demande une étude précise et minutieuse, car le texte de nos manuscrits est assez corrompu dans tous ces passages et les scholies métriques ne nous offrent au lieu de secours que des occasions d'erreur.

Le premier vers de la strophe est partout altéré. Voici le texte de R et de V :

346. εἰ γὰρ ἐκγένοιτ' (γένοιτο V) ἰδεῖν ταύτην με τὴν ἡμέραν ποτέ.

— ⏑ [—] ⏑ — ⏑ — — — ⏑ — — ⏑ — ⏑ ⏓

385. μηδαμῶς ὦ δέσποθ' Ἑρμῆ, μὴ (om. V) μηδαμῶς μηδαμῶς.

— ⏑ — — — ⏑ — — [—] — ⏑ — — ⏑ —

582. χαῖρε χαῖρ' ὦ φίλταθ' ὡς ἀσμένοισιν ἡμῖν ἦλθες.

— ⏑ — — — ⏑ — — ⏑ — ⏑ — — — —

Ne cherchons pas à corriger avant de nous être rendu compte de la structure métrique du reste de la strophe. Le premier vers est partout suivi de trois dipodies péoniques (car je considère comme certaines les corrections ἀνεσχόμην, 347, et ἐδάμην, 584), toutes trois identiques pour le nombre des syllabes :

— ⏑⏑⏑ — ⏑ —
— ⏑⏑⏑ — ⏑⏑⏑
— ⏑⏑⏑ — ⏑ —

Puis viennent, dans la *première* strophe (349), deux tétramètres trochaïques :

κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσκολον
οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν ὥσπερ καὶ πρὸ τοῦ.

Dans la *seconde* (388), un dimètre trochaïque suivi d'une dipodie crétique avec anacruse et d'un tétramètre trochaïque :

τοῦτο μὴ φαῦλον νομίζων ἐν τῷδε τῷ πράγματι.
Οὐκ ἀκούεις οἷα θωπεύουσί σ', ὦναξ δέσποτα;

Dans la *troisième* (587), un tétramètre trochaïque :

ἦσθα γὰρ μέγιστον ἡμῖν κέρδος, ὦ ποθουμένη.

Vient ensuite une période qui est exactement la même dans la *première* et la *troisième* strophe (354 sqq., 589 sqq. : la correction γεωργόν au vers 589 est évidente) :

— ⏑⏑⏑ — ⏑ —
— ⏑⏑⏑ — ⏑ —
⏑ — ⏑ — ⏓ — ⏑ —

Ce sont deux dimètres péoniques suivis d'un dimètre iambique acatalecte (cf. *Ass.* 950 sqq.; 960 sqq.). — Au contraire dans la *seconde* strophe nous trouvons un groupe métrique tout différent (390 sqq.) :

— ⏑ — ⏑ — ⏑ —
— ⏑⏑ — ⏑ — —
— ⏑ — ⏑ — ⏑ —

Ce sont deux dimètres trochaïques catalectiques encadrant un phérécratien : l'union des deux mètres se rencontre ailleurs (*Ass.* 903 sqq.; 909 sqq.) et ne permet pas par conséquent de déclarer qu'il y a là une altération; au contraire un interpolateur eût employé une forme métrique moins rare.

Les deux dernières périodes sont identiques dans les trois strophes (354 sqq.; 393 sqq.; 592 sqq.) :

— ⏑⏑⏑ — ⏑ ⏑⏑
— ⏑⏑⏑ — ⏑⏑⏑
— ⏑⏑⏑ — ⏑ —
— ⏑ — — — ⏑ — — — ⏑ — ⏑ — ⏑ —
— ⏑⏑⏑ — ⏑⏑⏑
— ⏑⏑⏑ — ⏑⏑⏑
— ⏑⏑⏑ — ⏑⏑⏑
— ⏑⏑⏑ — ⏑ — — ⏑ —

La correspondance des trois strophes n'est donc réelle que pour les deux dernières périodes : pour les premières nous avons noté de graves différences. Les unes tiennent évidemment à l'état du texte et de, légères corrections peuvent les faire disparaître. Mais peut-on accuser les scribes d'avoir altéré les vers 390-392 alors que ces vers ne présentent aucune difficulté de sens, aucune incorrection grammaticale, aucune bizarrerie métrique? Il faut donc reconnaître sans hésiter qu'il n'y a pas de correspondance entre la strophe 385 sqq. et les deux autres. Aussi bien tout s'accorde à la mettre à part : elle est précédée de deux tétramètres trochaïques (383-84) qui la préparent et l'annoncent; elle n'est point tout entière chantée par le Chœur comme les autres : Trygée y intervient; elle n'est point amenée par une antistrophie naturelle : elle est un κομμός, une supplication, tandis que les deux autres sont toutes deux un appel ou un salut à la Paix. Mais le poète a instinctivement profité des mètres qu'il venait d'employer, il s'est laissé aller au mouvement rythmique qui chantait dans sa mémoire. C'est là une véritable négligence qui peut surprendre, mais dont on trouverait certainement d'autres exemples dans Aristophane (cf. *Gren.* 1370 sqq. et 1482 sqq.).

Nous sommes donc en droit d'établir le texte de cette strophe sans tenir compte ni de 346 sqq. ni de 582 sqq. Le texte des dernières périodes est bien établi; il ne reste de difficulté que pour le début. Le *Venetus* donne pour le premier vers un texte acceptable :

Μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μηδαμῶς.

C'est un dimètre trochaïque suivi de deux crétiques. Le dernier vers de la période serait identique, s'il n'avait une syllabe de trop. Or, il est peu satisfaisant pour le sens, car on attend un verbe à l'impératif et non au participe. Écrivons donc avec Bergk :

τοῦτο μὴ φαῦλον νόμιζ' ἐν τῷδε τῷ πράγματι.

Ainsi la strophe tout entière prend une forme qui contente à la fois le sens et la métrique :

383-384. Épirrhème : Trygée (deux tétramètres trochaïques).

385-388. Supplications du Chœur (trochées et péons).

389. Épirrhème : Trygée (un tétramètre trochaïque).

390-399. Nouvelles supplications du chœur (1° trochées et phérécratien, 390-391 *bis*; 2° péons et trochées, 392 sqq.; 3° péons, 396 sqq.).

Revenons maintenant aux deux autres strophes. L'identité est complète entre elles à partir des vers 351 et 588. Les différences sont toutes dans le début, mais elles sont de celles qu'on peut vraiment attribuer à un copiste. La chute d'un vers (il manque un tétramètre après 586) est loin d'être sans exemple. Quant au premier vers qui n'a point de mesure dans aucune des

deux strophes, il est assez vraisemblable qu'il soit de rythme trochaïque comme 349-350; (587)-588. J'écrirais donc avec Porson au vers 346 :

Εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν τὴν ἡμέραν ταύτην ποτέ.

et (en partie avec Meineke) au vers 582 :

Χαῖρε χαῖρ' ὡς ἀσμένοισιν ἦλθες ἡμῖν, ὦ φίλη.

La correspondance se trouvera ainsi rétablie entre les deux strophes qui forment le cadre de cette grande scène si habilement composée, qui est le centre de la comédie. (Cf. *Essai sur la composition des comédies d'Aristophane.*)

382. **Λακήσης.** La première syllabe doit être brève car les comiques eux-mêmes n'admettent jamais le spondée aux pieds pairs du trimètre. Ce n'est pas une raison pour suspecter le texte. Si la syllabe λα est longue dans διαλακήσασα (*Nuées*, 410), il n'est pas moins vrai qu'elle est commune dans le parfait λέλακα (le plus souvent longue, mais brève une fois dans Homère, *Od.* XII, 85). Elle peut donc bien être commune aussi dans la forme ἐλάκησα de l'aoriste premier (alors surtout qu'elle est toujours brève dans celle de l'aoriste second, ἔλακον) — Ὁρμίδιον. L'antépénultième est longue comme dans δακτυλίδιον, *Lys.* 417; οἰκίδιον, *Nuées*, 92.

414. **Παρεκλέπτετον**, cf. *Thesm.* 1231, ἀνταποδοῖτον. Pour l'emploi du duel et du pluriel côte à côte, cf. *Plut.* 73.

415. **Ἁρματωλίας.** La leçon n'est pas douteuse, c'est celle d'Hérodien et de Phrynichos. Le témoignage de l'Antiatticciste (Bekker, p. 79, 10 : ἁμαρτωλία· Ἀριστοφάνης Εἰρήνῃ, Εὔπολις Μαρικᾷ) ne prouve rien : le grammairien veut simplement montrer que le mot ἁμαρτωλία appartient à la bonne langue attique; il le trouve, dit-il, dans Aristophane et dans Eupolis. Il a raison : le mot est en effet dans *la Paix*, déformé, il est vrai, mais il y est, puisque ἁρματωλία n'a de sens que par ἁμαρτωλία. On peut bien dire qu'Aristophane employait ἁμαρτωλία, puisqu'il a même fait une plaisanterie sur ce mot. C'est tout ce qu'a voulu dire l'Antiatticiste, et cela ne signifie nullement qu'il lût ὑφ' ἁμαρτωλίας. Quant à la coupe des brèves de l'anapeste, cf. *Nuées*, 62; voyez aussi N. C. 48.

420. On ne peut supprimer ce vers sans affaiblir le mouvement de tout le morceau. La répétition de Ἑρμῇ est évidemment voulue : Hermès remplacera Athéna, Déméter et Coré, Zeus lui-même, Adonis, Héraclès et Apollon. Trygée naturellement ne cite pas *toutes* (πάσας) les fêtes athéniennes, mais il choisit celles qui sont le plus nettement appropriées à la divinité qu'elles célèbrent et qui par conséquent sont le moins susceptibles de passer à un nouveau patron. L'idée de célébrer les Panathénées ou les Mystères en l'honneur d'Hermès est d'un burlesque complet, et c'est ce que souligne le mouvement de la période et la répétition des mots σοι ou Ἑρμῇ.

433. La comparaison avec une autre scène de libation (1102 sqq.) nous montre que les mots σπονδὴ σπονδή sont prononcés par celui qui tient la coupe : c'est ici Hermès (cf. Sch. τοῦτο ἀξιοῦσι τὸν Ἑρμῆν λέγειν σπένδοντα). En outre les mots εὐφημεῖτε εὐφημεῖτε nous indiquent qu'Hermès joue aussi le rôle du héraut. L'intention comique n'est pas douteuse : Hermès tient en main la coupe d'or grâce à laquelle on a pu l'attendrir. Trygée l'a remplie (431). Machinalement, Hermès, héraut des dieux (cf. Pind. *Ol.* VI, 78), prend l'attitude d'un héraut au sacrifice et, d'une voix indifférente et criarde, il clame la formule rituelle. — Il ne prononce que des débuts d'imprécations : Trygée les complète par des souhaits burlesques (cf. Sch. 441 et 444).

452. **Ἕλκοιτο**. Cette leçon pourrait être conservée, si elle n'était pas suivie de μαστιγούμενος. Mais ce participe présent doit nécessairement être joint au verbe principal qu'il explique et précise. Or, si ἕλκειν peut s'entendre du supplice de la roue qui *tire* les membres du condamné, il ne peut s'entendre du fouet. C'est pourquoi j'ai lu ἑλκοῖτο (voyez la note à ce vers).

469. J'ai adopté la conjecture de Meineke de préférence aux autres, parce qu'elle est la seule qui conserve la coupe ordinaire du dimètre anapestique. La faute a dû provenir du rapprochement du pluriel et du duel qui a surpris les copistes. Voyez une faute analogue dans le *Plutus*, 75 : le *Venetus* porte μέθεσθόν με νῦν à cause de ἀκούετον δή qui commence le vers suivant, tandis que R et A ont conservé la vraie leçon μέθεσθέ με νῦν.

524. **Ὦ Θεωρία** vient évidemment du vers précédent. Faute de mieux, j'ai admis la conjecture de Blaydes ὦ φίλη θεά, en corrigeant simplement θεά en θεός (cf. 560, 581, 726).

605. **Αὐτῆς ἦρξε**. La correction de Madvig que j'ai adoptée a l'avantage d'expliquer sans peine l'origine de la faute : ἦρξ' ἀυτῆς lu ἦρξ' αὐτῆς faisait un vers faux; un scribe a cherché a rétablir le mètre ou du moins le nombre de syllabes voulu et a changé l'ordre des mots (αὐτῆς ἦρξε), sans s'apercevoir que le vers restait faux, avec un spondée à la troisième place. — Quant à l'emploi du mot épique ἀϋτή, il se justifie peut-être par un παρ' ὑπόνοιαν. Hermès enfle la voix : « Le premier signal des clameurs de guerre fut donné.... » Après ce début claironnant, on attend quelque chose comme « par Éris » (cf. *Il.* XI, 3-12) ou « par Arès », et, au lieu de ces formules épiques, Hermès dit ironiquement : « par la mésaventure advenue à Phidias ! » Petite cause, grands effets.

609. **Ἐμβαλών**. L'asyndète m'a paru impossible à expliquer : c'est pourquoi j'ai admis la très légère correction de Reiske.

742. **Τοὺς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομένους ἐπίτηδες**. Ce vers est inintelligible, si on le rattache aux précédents : on est surpris d'expressions comme φεύγοντας et ἐξαπατῶντας s'appliquant à Héraclès; à quels faits se rapporteraient-ils ? Enfin les mots τυπτομένους ἐπίτηδες sont inexplicables à cette place. Je crois que le vers tout entier est une glose des suivants. En marge du v. 743, un scholiaste avait indiqué de quels esclaves il s'agissait : *ceux qu'on a pris en flagrant délit de fuite ou de vol*, et qui ont été châtiés pour cela (remarquez l'emploi du présent φεύγοντας : s'il était question d'esclaves transfuges, le scholiaste eût dit δραπέτας); en marge du v. 744, il avait traduit le mouvement très expressif καὶ τούτους οὕνεκα τουδί par cette glose obscure et plate, *battus exprès*, τυπτομένους ἐπίτηδες.

831. **Ἐνδιαεριαυεριναχέτους**. Ce mot n'a ni mètre ni raison. On peut cependant chercher à l'analyser. Le début ne peut renfermer le mot ἐνδῖος auquel on songe d'abord, car la seconde syllabe de ἐνδῖος est toujours longue à l'époque classique. Ἐνδια... doit donc cacher simplement les prépositions ἐν et διά. On peut dès lors songer à une accumulation voulue de préfixes et écrire (ce qui ne suppose que de très légères corrections) : ἐνδιαπεριαεριναχέτους. Comparez des mots comme διαπεριπατεῖν ou ἐνδιαμένειν.

834. La lecture Καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ; — Ἴων ὁ Χῖος, ὅσπερ κ.τ.ἑ. ne signifie rien : ἐκεῖ ne peut tenir la place de ὁδί.

847. **Ταύτας σύ; Πόθεν.** La correction ταύτας; — Ὁπόθεν est inutile : cf. *Nuées*, 664; *Ois.* 1234; *Ass.* 761, passages où il est impossible de corriger πῶς en ὅπως, ποίοισιν en ποίοις. Voyez aussi *Ois.* 608, *Gren.* 1424.

860. **Γέρον.** La dernière syllabe est indifférente : cf. *Ass.* 293, δώσειν τὸ τριώβολον. | Ἀλλ' ὦ... Il y a très vraisemblablement un repos de la voix après γέρον. Je n'ai pas d'exemple d'une brève à la fin d'un prosodiaque logaédique sans une ponctuation assez forte.

895 *bis* a été écarté avec raison par Willems comme la glose du vers suivant : « πλαγίαν καταβάλλειν, c'est-à-dire ἐπὶ γῆς παλαίειν et ἐς γόνατα κύβδ' ἑστάναι, c'est-à-dire τετραποδηδὸν ἑστάναι. Le *Ravennas* nous a conservé le vers authentique en même temps que la glose. Les autres manuscrits ne donnent que cette dernière. » Elle interrompt fort maladroitement la construction, car παλαίειν et ἑστάναι sont neutres, tandis qu'avec καταβάλλειν, qui est actif, il faut reprendre le régime oublié ταύτην.

939. Un vers iambo-trochaïque n'est jamais isolé. La construction générale du morceau me paraît d'ailleurs demander un tétramètre trochaïque; c'est pourquoi j'ai remplacé θεὸς θέλῃ par θεοὶ θέλωσι (cf. Alexis, fr. 247). — J'ai en outre admis la ponctuation du scholiaste.

943. **Ἐπείγετε.** Si nous nous trouvions en face d'un système anapestique, il faudrait écrire φέρ' ἐπείγετε ou κατεπείγετε. Mais les vers qui suivent ne sont pas des dimètres, mais bien plutôt des tripodies anapestiques dont la clausule est un vers iambique (cf. *Ois* 1322). Je crois donc que 943 n'est pas un vers anapestique, mais ce qu'Héliodore appelle περίοδος προσοδικὴ ἑνδεκάσημος (Sch. *Paix*, 776): c'est le même vers que le vers 776; on le trouve quelquefois chez les tragiques (cf. Esch. *Sept*, 752 et 760): la première syllabe en est toujours indifférente.

992. Il faut se garder de corriger ce vers de façon à en faire un dimètre acatalecte. Les vers qui suivent sont peut-être les plus importants de la pièce (cf. Introd. p. 11) : il est assez naturel qu'ils soient détachés et soulignés par une catalexe.

1033. Le *Ravennas* donne pour la strophe (950-955) un texte satisfaisant : il permet de reconnaître une strophe iambique à clausule anapestique (cf. *Ach.* 836). Les κῶλα sont des tétrapodies (la seconde avec tenue). Au contraire l'antistrophe dans les manuscrits est composée de vers iambiques mélangés de prosodiaques, ce qui, sans être inadmissible, est cependant un peu moins vraisemblable. On ne peut en outre rétablir les prosodiaques dans la strophe sans faire au texte traditionnel de nombreuses et graves corrections, tandis qu'il est facile en ajoutant deux mots à l'antistrophe de retrouver partout le mètre iambique. Les mots que j'ai ajoutés appartiennent à la langue tragique et comme tels m'ont paru convenir au ton du morceau. — Si l'on s'étonnait de voir tomber une longue de trois temps sur la première syllabe de τοιοῦτον, je citerais Eschyle, *Perses*, 104, où la deuxième syllabe de παλαιόν porte une tenue de quatre temps.

1135. **Ἐκπεπρισμένα.** Je tiens la conjecture ἐκπεπρεμνισμένα pour certaine (voyez le commentaire). La syllabe indifférente n'a rien d'étonnant à cette place, alors que se termine la période péonique et que des trochées vont lui succéder.

1154. **Αἰσχινάδου.** La forme de ce nom est suspectée à tort. La seconde syllabe de Αἰσχίνης est longue dans l'Anthologie, II, 14

1178. **Λινοπτώμενος.** La première syllabe est longue dans un fragment d'Antiphane cité par Athénée, 455 F.

1218. Ce vers est une répétition maladroite de 1193.

1332 sqq. L'eurythmie de ce chant n'a pas encore été établie d'une manière satisfaisante. J'ai suivi scrupuleusement le texte de R et de V (sauf pour ce qui est de la division côlométrique et de la distribution des vers entre les demi-chœurs). Il semble bien qu'il y ait là une composition palinodique imparfaite : 1355-57 correspondent à 1329-1331, 1351-1354 à 1333-1336, 1344-1348 à 1339-1343, mais 1349-1350 ne répondent pas à 1337-1338. Je ne crois pas pour cela qu'il y ait de lacune ni d'altération.

52182. — Imprimerie Lahure, rue de Fleurus, 9, à Paris.